eul_wid: hps-bl

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Sicyonian

*Σικυώνιος*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

2.1 [ ]αρειναί φημι τούτου θυγάτριον.
2.2 ὡς δ’ ἐγκρατεῖς ἐγένοντο σωμάτων τριῶν
2.3 τὴν γραῦν μὲν οὐκ ἔδοξε λυσιτελεῖν ἄγειν
5.1 αὐτοῖς, τὸ παιδίον δὲ καί τιν’ οἰκέτην
5.2 τῆς Καρίας ἀγαγόντες εἰς τὰ Μύλας’, ἐκεῖ
5.3 ἐχρῶντ’ ἀγορᾶι, καθῆτό τ’ ἐπὶ τῆς ἀγκάλης
5.4 ἔχων ὁ θεράπων τὴν τροφίμην. πωλ[ουμένοις
5.5 προσῆλθεν ἡγεμών τις· ἠρώτα πόσου
10.1 ταῦτ’ ἐστιν· ἤκουσεν, συνεχώρης’, ἐπ[ρίατο.
10.2 παλίμβολος δὲ τῶι θεράποντι πλησίον
10.3 τῶν αὐτόθεν τις ἕτερος ἅμα πωλούμ[ενος
10.4 “βέλτιστε, θάρρει,” φησίν, “ὁ Σικυώνιος
10.5 ἠγόρακεν ὑμᾶς, ἡγεμὼν χρηστὸς σφόδρα
15.1 καὶ πλούσιος. τούτωι [τ]υχὸν [
15.2 ἐκ τοῦ παραχρῆμ[
15.3 τῶι παιδίωι τὴν πατ[
15.4 [.]εον προσάγων οἰκεῖον ειστ[
15.5 [....]ειδέναι δοκεῖν τ[
19 (desunt uersus vii—xv aut xxviii—xl)
20.1 [ ]δειδοξενουτινος
20.2 [ ] γὰρ ποιοῦσί τε
20.3 [ ].αν[.]ετι
20.4 [ τὰ] καθ’ ἕκαστα δὲ
20.5 ὄψεσθ’ ἐὰν βούλησθε, βουλή]θητε δέ.
24 uersuum 25—35 fines supersunt in hunc modum:

] λογισμὸν ἀνδρικόν
]τεραν ἰδεῖν
].ονοις ὡς γίγνεται
].ενη δεύτερον
] οὑτοσί
]ν μου πυθοῦ
το]ύτωι τῶι κακῶι
]με καὶ συνοικίζειν, γύναι
]. ουδεμία μὰ τὼ θεὼ
]ν ἄπεστι τούτωι γάρ, τάλαν
].φασὶν· ὁ δὲ τρόμος πολύ
(desunt uersus v—ix)
uersuum 36, 37 paene nihil superest, sed subsunt para-
graphi. uersuum 38—51 initia supersunt in hunc modum:
ημ[
ˋ—ˊ
θρέψεις μο[
μᾶλλον δετ[
τέχνην α.[
κτῆμ’ ἐστι σ[
ἄπληστος ε[
πάντ’ ἐσθίειν [
οὕτω γὰρ ηγα[
ἀνὴρ ἀπληστ[
γυναικὶ παν[
ˋ—ˊ
τοῦτ’ ηὐχόμη[ν
ἐγώ. τὸ ποῖον; ε[ πρὸς ταῦτα
δίδωμι προ[
ˋ—ˊ
(quot uersus desint non constat)
[ ]ων ἀπολεσάντων παιδίον
[ ]δόντων τρέφειν ἢ τὸν τόπον
[ ]γεγραμμένων ἀλλως ἔχει
[ ]ον ποτ’ ἐστὶν οὕτω μαρτυρεῖν
[ ]τοιοῦτον ἄν τις εὕροι πολλαχοῦ
[ ἐ]ν ἄστει τουδε ’Ελευσίς ἐστι καὶ
πανήγ]υρίς που· τίς νοήσει πρὸς θεῶν [ ]μειται δῆμος εἷς τις οὐ ταχὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ ] ἀφελκύσαις ἄν· εἰ δὲ περιμένω
[ ] ἔτι λέγοντος ἑσπέρα
(desunt uersus xi—xii)
[ ἀν]υπερβατω
[ ]..αληθ[.]λον
[ ]ουπερ ἐγενόμην
[ οἰ]κότριψ Δρόμων
[ ]ς εὐεργέτην
[ ] Διόνυσος ἀπολέσαι
[ οὐδὲν ὑγ]ιὲς οὐδ’ ἁπλοῦν φρονῶν
[ ]ν ἀνήιρηκάς με νῦν
[ ]τ’ ἐπυθόμην ὅτι
[ ]ο παιδίον χάριν
[ ]ν φιλανθρώπων κακῶς
[ ]ως ὀλ[..] τι· τὴν μὲν παρθένον
[ ]νῦν οἶδεν ἐνδεέστερον
...
ἐμαυτὸν ουδω[
[.]υσ[......].αυται καὶ [
ὑπόλειον [
ἔδωκας ἂν δίς· οὐκ ἀγαθά; καλωθ[
καὶ νῦν δραμὼν τὴν παῖδα παρ[
ἔσται γὰρ ὥσπερ ...........εμο[
ὡς ἔστιν· οὐκ ἐᾶις με κοινῶσαι λ[
τίς] οὐκ ἐᾶι; δέδωκ’, ἐδέξω· νῦ[ν
δέδοικε, φησί, δεσπότην ξένο[ν τρίτον τ’ ἐρῶντ’. ἐγγύς τε τω[..]ρα[
λέγοντα τούτους τοὺς λόγους ἐπει[ ἐμοὶ δὲ καὶ τούτωι τί πρᾶγμ’ ἐστ[
μὴ τοῦτον ἡμῖν τὸν τρόπον λαλει[
τολμητέον γάρ ἐστιν· ἀλλ’ ει[..]ρ[
τούτων ἀληθὲς ὁ θεράπων τι.[
ἅπασι νη[.].[..]α τοῖς πολίταις ἡ κόρη
οὐκ ἀλλοτρία· πρῶτον μὲν αὐτῆς τ[
προση..........εκαδ..τει[
οὐκ οἶδ’ ὅ τι λέγω· τῶι θεράπ[οντι
κἀμοὶ τ[
μειράκιο[ν ...]οντι[.]. πορνη[
(quot desint uersus non constat)
[ ]κες διαμένει μηδὲ σαυτὸν ἀξίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ τ]ούτου ποτ’ ἔσται καιρός.
[?ΘΗΡΩΝ] εὖ γε νὴ Δία.
[ ] γὰρ αὐτόν· ἐπιπαροξυνθήσεται
[ ]ασιν οὕτως εἶτα μὴ πεπραζεται
[ ἔστ]ω, δεδόχθω.
[?Θη] νῦν δοκεῖ μοι, νὴ Δία.
[ ἐ]νθάδ’ ἦσθα διὰ λογισμὸν οὐθενὸς
[ ] μὰ τὴν Ἀθηνᾶν πώποτ’ εὐφρονέστερον
[?Θη] [ Ἄ]πολλον· εὖ γε νὴ τὸν Ἥλιον
[ ] τῶν σῶν ὄνασθαι μηθέν’ ἄλλον, ἀλλὰ σέ
[ ]ον εἶπον οὐδὲ προὐνοήσανθ’ οἵτινες
[Θη] [ ὁ] ποῖος;
〈ΣΤΡΑΤΟΦΑΝΗΣ〉 Πυρρίας, ὃν οἴκαδε
[ ]..εαυτόν, ἵνα φράσηι σεσωμένους
[ ]ντες ὀλίγων.
(Θη) οἶδα.
〈Στρ〉 πρὸς τὴν μητέρα
[ ]μεν· τί οὖν δεῦρ’ ἔρχεται μαθὼν πάλιν
καὶ μάλα σπουδῆι] βαδίζων;
(Θη) καὶ σκυθρωπὸς ἔρχεται.
(Στρ) μή τι συμβέβη]κεν ἡμῖν, Πυρρία, νεώτερον;
μὴ γὰρ ἡ μήτηρ] τέθνηκε.
(ΠΥΡΡΙΑΣ) πέρυσιν.
(Στρ) οἴμοι· γραῦς σφόδρ’ ἦν·
[ ]ς ἐκείνη γέγονεν.
(Πυ) ἀλλ’ ἐν πράγμασιν,
Στρατοφάνη, κ]αινοῖς ἔσει σὺ σφόδρα τ’ ἀνελπίστοις τισίν.
οὗ δοκεῖς οὐκ ἦσ]θας ὑός, ὡς ἔοικεν.
(Στρ) ἀλλὰ τοῦ;
(Πυ) [ ]ο τελευτῶς’ ἐνθαδὶ τὸ σὸν γένος
[ ἔ]γραψεν.
(Θη) ἁποθνήισκων οὐ φθονεῖ
οὐδενὸς τοῖς ζ]ῶσιν ἀγαθοῦ· τοὺς ἑαυτοῦ ς’ ἀγνοεῖν
οὐκ ἐβούλετο.
(Πυ) οὐ μόνον δ’ ἦν τοῦτο. καὶ δίκην δέ τωι
ὦφλεν ὁ πατήρ, ὡς ἔοικε, ζῶν ὁ σὸς Βοιωτίωι—
(Στρ) ἐπυθόμην.
(Πυ) πολλῶν ταλάντων, Στρατοφάνη, κατὰ σύμβολα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Στρ) ἦλθε περὶ τούτων ἁπάντων μοι τότ’ εὐθὺς γράμματα
τήν τε τοῦ πατρὸς τελευτὴν ἅμα λέγοντ’ εἰς Καρίαν.
(Πυ) ὄντ’ ἀγώγιμόν σε τούτωι πυθομένη τῶν τοὺς νόμους
εἰδότων τήν τ’ οὐσίαν σου, τοῦτο προὐνοεῖτό σου
καὶ τελευτῶς’ ἀπεδίδου σε τοῖς ἑαυτῶν εὐλόγως.
(Στρ) δὸς τὸ γραμματείδιόν μοι.
(Πυ) καὶ ταδὶ χωρίς γ’ ἔχω
τῶν γεγραμμένων ἐκείνοις, Στρατοφάνη, γνωρίσματα
καὶ τεκμήρι’, ὡς ἐκείνην ἔφασαν οἱ δόντες λέγειν
ζῶσαν.
(Θη) ὦ δέσποιν’ Ἀθηνᾶ, τουτονὶ σαυτῆς πόει,
ἵνα λάβηι τὴν παῖδ’, ἐγὼ δὲ Μαλθάκην.
(Στρ) βαδίζετε.
δεῦρο, Θήρων.
(Θη) οὐ λέγεις μοι;
(Στρ) πρόαγε, μηθέν πω λάλει.
(Θη) ἀλλ’ ὅμως· κἀγώ—
(Στρ) βάδιζε καὶ σὺ δεῦρο, Πυρρία·
τῶν ἐμῶν λόγων γὰρ οἴσεις εὐθέως τὰ σύμβολα
καὶ παρὼν δείξεις ἐάν τις αὐτὰ βούληται σκοπεῖν.
ΧΟΡΟΥ (?ΣΜΙΚΡΙΝΗΣ) ὄχλος εἶ φλυάρου μεστός, ὦ πόνηρε σύ,
δίκαια τὸν κλάοντα προσδοκῶν λέγειν
καὶ τὸν δεόμενον· τοῦ δὲ μηδὲ ἓν ποεῖν
ὑγιὲς σχεδὸν ταῦτ’ ἐστι νῦν τεκμήριον·
οὐ κρίνεθ’ ἀλήθεια τοῦτον τὸν τρόπον,
ἀλλ’ ἐν ὀλίγωι πολλῶι γε μᾶ[λλον συνεδρίωι.
(?ΒΛΕΠΗΣ)
ὀλιγαρχικός γ’ εἶ καὶ πονηρός, Σμ[ικρίνη,
νὴ τὸν Δία τὸν μέγιστον.
(Σμ) οὐδέν[ ὦ Ἡράκλεις, ἀπολεῖτέ μ’ οἱ σφοδ[ρ
ὑμεῖς. τί γάρ μοι λοιδορεῖ βαρυ.[
(?Βλ) μισῶ σε καὶ τοὺς τὰς ὀφρῦς ἐπη[ρκότας
ἅπαντας· ὄχλος ὢν δ’ ὁμολογῶ [
(Σμ) οὐκ ἂν γένοιτο τοῦτο.
(?Βλ) ἐγώ σε. [
τὸν πλούσιον κλέπτοντα ς.[
σκεύη τε καὶ τούτων ἀποτ.[
ἀργύριον οὐκ ἐξ οἰκίας ἴσως φ[

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἀγομένων ἐκεῖσε προ[
(Σμ) οἴμωζε.
(?Βλ) καὶ σύ.
(Σμ) νοῦν ἔχεις φ[ σκάφης
ἐγὼ γὰρ ἄν ς’ ἐπόησα συνστομώτερον.
(Βλ) ὦ γεραιέ, μεῖνον ἐν παραστά[σιν δόμων.
(Σμ) μένω. τίνος δὲ τοῦτο θωύσ[σεις χάριν;
(Βλ) ὡς ἂν σὺ μικρὸν καὶ καπν[
(Σμ) βουλόμεθ’ ἀκοῦσαι τὰ περὶ τ[
καὶ [
(Βλ) εἰδως ταπυν[
(Σμ) ἅπασαν ἡμῖν εἰ[πέ
(Βλ) ἐτύγχανον μὲν οὐ[
βαίνων, μὰ τὸν Δί’, οὔτε τ[
[ ]ε τοῦτ’ ἐμοί, καλῶς ποῶν
[ ] καὶ τὰ τῶν ἄλλων κακὰ
[ ]μαι φοβερὸς εἰς τριώβολον
[ ]τε κοινὸν μέγα βοῶν οἷς ἂν τύχω
δημο]τικός, οἵπερ καὶ μόνοι σώιζουσι γῆν. ἐξ] ἄστεως δ’ ἥκων ἵν’ ἐντύχοιμί τωι
τῶν δημοτῶν μέλλοντι λεπτὸν βοΐδιον
νέμειν ἀκούειν θ’ ὅσα προσέστ’ αὐτῶι κακὰ
ὑπὸ τῶν λαβόντων μερίδα—τούτων δ’ αὐτὸς ἦν·
τοῦ τῆς θεοῦ δήμου γάρ εἰμ’ ἐπώνυμος,
Βλέπης Ἐλευσίνιος—ἐπέστην ὄχλον ἰδὼν
πρὸς τοῖς προπυλαίοις, καὶ “πάρες μ’” εἰπὼν ὁρῶ
καθημένην παῖδ’ εἷς τε τούτων τῶν κύκλωι
γενόμενος. εὐθὺς δῆμος ἦν καὶ κύριον
[ τ]ῆς καθημένης κόρης
(desunt uersus vii uel viii)
οὔπω πέπυσμαι .[
ὁ κύριος κακὸν ποήσηι κ[
καὐτὸς μεθ’ ὑμῶν ἐνθαδὶ κα[
ἐπόησε τοῦτο καὶ μέγ’ ὠρεχθή[σαμεν
ἡμεῖς “πολῖτίς ἐστιν ἡ παῖς.” καὶ μόλις
ούν τῶι κύκλωι πάλιν κατεσβέσθη π[ολὺς
ἦχος. σιωπῆς γενομένης προσίσταται μειράκιον ἐγγὺς τῶι θεράποντι λευκόχρων
ὑπόλειον ἀγένειόν τι καὶ μικρὸν λαλεῖν
ἐβούλετ’· οὐκ εἰάσαμεν. “μεῖζον λέγε”

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐθύς τις ἀνεβόησε καὶ “τί βούλεται;
τίς ἐστι; τί λέγεις;” “οἶδέ μ’ οὗτος ὁ θεράπων”
φησίν, “πάλαι γὰρ οὖν βοηθῶ. κἄν τινος
δέητ’ ἐρωτῶ. καὶ τὰ πόλλ’ ἀκήκοα
αὐτοῦ λέγοντος ἄρτι πρὸς τὸν δεσπότην.”
καὶ κόκκινος γενόμενος ὑπανεδύετο
κοὐ] παντελῶς ἦν βδελυρός, οὐ σφόδρ’ ἤρεσεν
ἡ]μῖν δέ, μοιχώδης δὲ μᾶλλον κατεφάνη.
μέγ’ ἐγκραγόντες [
νῦ]ν τοῦτον. εἷς θ’ ἡμῶν γενόμενος ἔβλεπεν
εἰς] τὴν κόρην, ἐλάλει τε τοῖς ἐγγὺς συχνά
[ ]ον πεφευγῦ’ ἡ κόρη
[ ὄ]ψει τις ἀνδρικὸς πάνυ
[ ]μως νὴ τὸν Δί’ ἐγγὺς ἵσταται
[ ἄ]νθρωπος ἕτερος, καὶ τρίτος
[ ]υτων· ὡς δ’ ἐνέβλεψ’ ἐγγύθεν
[ τὴν πα]ῖδ’, ἐξαπίνης ποταμόν τινα
δακρύων ἀφίης’ ο]ὗτος, ἐμπαθῶς τε τῶν
τριχῶν ἑαυτοῦ λαμ]βάνεται βρυχώμενος.
[ ] ἔλαβε τοὺς ἑστηκότας
[ ]ε τί βούλει; λέγε, λέγε.”
[ φησί]ν, “οὕτως ἡ θεὸς
δοίη τὸ λοιπόν, ἄνδρες,] ὑμῖν εὐτυχεῖν,
[ τέ]τροφα μικρὸν παιδίον
[ ] αὐτῶι φαίνεται
[ ] πρώτιστα μὲν
[ ὑ]μῶν ἄξιως
]ησηθοσαν
]ηρ
]ιων ὄχλον
]ειν
].
[πα]τρὸς
αὐτῆς, ἐμὸν δ’ ὄντ’ ἀποδίδωμι τῆι κόρηι·
τροφεῖ’ ἀφίημ’, οὐδὲν ἀξιῶ λαβεῖν.
εὑρισκέτω τὸν πατέρα καὶ τοὺς συγγενεῖς·
οὐκ ἀντιτάττομ’ οὐθέν.” “εὖ γ.” “ἀκούσατε
καὶ τἀμὰ δ’, ἄνδρες. ὄντες αὐτοὶ κύριοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταύτης—ἀφεῖται τοῦ φόβου γὰρ ὑπό γ’ ἐμοῦ—
πρὸς τὴν ἱέρειαν θέσθε καὶ τηρησάτω ὑμῖν ἐκείνη τὴν κόρην.” πολλήν τινα
τοῦθ’, ὡς προσῆκ’, εὔνοιαν εἷλκυς’· ἀνέκραγον
“ὀρθῶς γε” πάντες, εἶτα “λέγε” πάντες πάλιν.
“Σικυώνιος τὸ πρότερον εἶναι προσεδόκων
κἀγώ· πάρεστι δ’ οὑτοσί μοι νῦν φέρων
μητρὸς διαθήκας καὶ γένους γνωρίσματα·
οἶμαι δὲ καὐτός, εἴ τι τοῖς γεγραμμένοις τούτοις τεκμαίρεσθαί με πιστεῦσαί τε δεῖ,
εἶναι πολίτης ὑμέτερος. τὴν ἐλπίδα
μήπω μ’ ἀφέλησθ’, ἀλλ’ ἂν φανῶ τῆς παρθένου
κἀγὼ πολίτης, ἣν ἔσωισα τῶι πατρί,
ἐάσατ’ αἰτῆσαί με τοῦτον καὶ λαβεῖν·
τῶν ἀντιπραττόντων δ’ ἐμοὶ τῆς παρθένου
μηθεὶς γενέσθω κύριος πρὶν ἂν φανῆι
ἐκεῖνος.” “ὀρθῶς καὶ δίκαι’, ὀρθῶς”, “ἄγε
πρὸς τὴν ἱέρειαν, ἄγε λαβών.” ὁ λευκόχρως
ἐκεῖνος ἐξαίφνης τε παραπηδᾶι πάλιν
καί φησι “ταυτὶ συμπέποιθ’, ὡς οὑτοσὶ
νῦν ἐξαπίνης εἴληφε διαθήκας ποθὲν
ἐστί τε πολίτης ὑμέτερος, τραγωιδίαι
κενῆι τ’ ἀγόμενος τὴν κόρην ἀφήσετ[αι.”
“ἆρ’ οὐκ ἀποκτενεῖς τὸν ἐξυρημένον;”
“μὰ Δί’, ἀλλά ς’, ὅστις—” “οὐ γάρ; οὐκ ἐκ τοῦ μέσου,
λάσταυρε;” “πόλλ’ ὑμῖν γένοιτο κἀγαθά·”
ἐκεῖνος, “ἄγε, βάδιζ’ ἀναστᾶς’.” ὁ θεράπων
“ὑμῶν κελευόντων βαδιεῖται” φησί, καὶ
“κελεύετ’, ἄνδρες.” “ναί, βάδιζ’.” ἀνίστατο,
ἐβάδιζε. μέχρι τούτου παρῆν· τ[ὰ δ’ ὕστερα
οὐκέτι λέγειν ἔχοιμ’ ἄν, ἀλλ’ ἀπέ[ρχομαι.
(?ΜΟΣΧΙΩΝ)
τοὺς ἀνδραποδιστὰς ἀπαγαγεῖ[ν ὑμᾶς ἐγώ— (?Στρ) ἡμᾶς σύ;
(Μο) νὴ τὸν Ἥλιον.
(Στρ) κορυβ[αντιᾶις,
μειράκιον.
(Μο) ἐξαίφνης πολίτης [ἀνεφάνης·
γενναῖον. οὐκ ἔξεστι πο[
(Στρ) πῶς; ἀγνοῶ τὸ τοιοῦτο[
(Μο) ὁρᾶις; βάδιζ’ εἰς ἐξέτα[σιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρᾶγμ’ ἐξεταζε[
παρὰ τῆς ἱερέα[ς
(desunt uersus fortasse circa xx)
(?) πτέρυξ χιτωνίσκου γυναικείου διπλῆ·
ἔ]κρυπ[τε γὰ]ρ σῶμ’ ἡνίκ’ ἐξεπέμπομεν
πρὸς τὴν] ξένην σε τὴν τότ’ αἰτοῦσαν τέκνα.
[ ].νεστιν ἀλλα τῶι βεβαμμένωι
[ ]τ’ ἔχουσα χρώματος φύσιν
πέριξ ἰώ]δους τοὺν μέσωι δὲ πορφύρας
[ ]δη καὐτός· ἐμβλέπω σε, παῖ,
[ ]ηται καιρός. ὡς παρ’ ἐλπίδας
[ ]ημι λαμπαδηφόρου
[ ]ντος ὑπεραγωνιῶν
[ ]τι, μῆτερ. ἀλλὰ τί;
[ ]τος ὃ νομίζω καλεῖν
].εις τὸν χρόνον
] ἐλπίσασά τε
]ν ἡ τύχη
σύ]μβολον
]χημα, παῖ
]αμουμενη
].α γνωρίσηι
]λλων τέκνα ]ας φανεὶς
]λαβεῖν[
]α παιδίο[
]καλω[
]κ[
ἴωμεν εἴσω δεῦρ[
ἄνερ· ἐνθάδ’ ἐστι.[
‵—′
ἡμῖν τε ποιήσειν ἑτοιμο[
ἔφη προελθὼν ἐχθὲς εἰς ὁμ[ (Στρ) ὁ Μοσχίων ἀδελφὸς ἐμός ἐσ[τιν, πάτερ;
(Σμ) ἀδελφός. ἀλλὰ δεῦρο προσ[
ἡμᾶς γὰρ ἔνδον προσ[
ΧΟΡΟΥ
(ΚΙΧΗΣΙΑΣ)
ἐμοὶ τί σὺ σπουδαῖο[ν
ὥστ’ ἄξιον ταύτης φ[ανῆναι τῆς ὁδοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἣν κεκόμικάς με δεό[μενος
ἀεί τι μικρὸν ἔτι προέ[ρχεσθαι; τίς εἶ;
ἄξιον, ἀκριβῶς ἴσθι, γιν[ώσκειν τόδε.
(Θη) τίς εἰμι; μὰ τὸν Ἥφαιστ[ον
σπουδαῖον ἂν δέξηι μ[
λαλοῦντα γάρ σε θηρι[
πρὸς τὸν τελώνην λιθι[
σπασάμενον εὐθὺς ημ[
[ ]ρισμο[
(omnino perierunt uersus iii, proximorum xx litterae
supersunt xxxiv, deinde perierunt uersus circa iv)
(Κι) οὐκ εἰς τὸν ὄλεθρον—
〈Θη〉 χαλεπὸς ἦσθα.
(Κι) —ἀποφθερεῖ
ἀπ’ ἐμοῦ; Κιχησίαν σὺ τοιοῦθ’ ὑπέλαβες
ἔργον ποήσειν ἢ λαβεῖν ἂν παρά τινος
ἀργύριον. ἀδίκου πράγματος. Κιχησίαν; (Θη) Σκαμβωνίδην γε τὸ γένος· εὖ γ’· ἆρ’ ὑπέλαβες;
τούτου με πρᾶξαι μισθὸν αὐτοῦ, μηκέτι
ὧν ἔλεγον ἄρτι.
(Κι) τοῦ τίνος;
(Θη) Κιχησίας Σκαμβωνίδης γε—πολὺ σὺ βέλτιον λέγεις.
νοεῖν τι φαίνει τὸν τύπον τοῦ πράγματος.
οὗτος γενοῦ· καὶ σιμὸς εἶ γὰρ ἀπὸ τύχης
καὶ μικρός, οἷον ἔλεγεν ὁ θεράπων τότε.
(Κι) γέρων ὅς εἰμι γέγονα.
(Θη) πρόσθες θυγάτριον
Ἁλῆθεν ἀπολέσας ἑαυτοῦ τετραετὲς
Δρόμωνά τ’ οἰκέτην.
(Κι) ἀπολέσας.
(Θη) εὖ πάνυ.
(Κι) ἁρπασθὲν ὑπὸ λῃστῶν· ἀνέμνησας πάθους
τὸν ἄθλιόν με καὶ θυρας οἰκτρᾶς ἐμοί.
(Θη) ἄριστα. τοῦτον διαφύλαττε τὸν τρόπον
τό τ’ ἐπιδακρύειν. ἀγαθὸς ἄνθρωπος σφόδρα.
(ΔΡΟΜΩΝ)
ἡ μὲν τροφίμη ’στιν ἀσφαλῶς τηρουμένη
[π]ατερ
(desunt uersus circa iv)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζῆι καὶ πάρεστιν. μὴ πέσηις. ἀνίστασο,
Κιχησία. Θήρων, ὕδωρ, ὕδωρ, ταχύ.
(Θη) οἴσω γε, νὴ Δί’, εἰσδραμὼν καὶ Στρατοφάνην
ἔνδοθεν ἀποστελῶ πρὸς ὑμᾶς.
(Δρ) οὐκέτι
ὕδατος δεήσει.
(Θη) τοιγαροῦν αὐτὸν καλῶ.
(Δρ) ἀναφέρεται γὰρ οὑτοσί. Κιχησία. (Κι) τί ἐστι; ποῦ γῆς εἰμι; καὶ τίνος λόγου
ἤκουσα φήμην;
(Δρ) ἔστι σοι καὶ σώιζεται
τὸ θυγάτριον.
(Κι) καλῶς δὲ σώιζεται, Δρόμων,
ἢ σώιζετ’, αὐτὸ τοῦτο;
(Δρ) παρθένος γ’ ἔτι,
ἄπειρος ἀνδρός.
(Κι) εὖ γε.
(Δρ) σὺ δὲ τί, δέσποτα;
(Κι) ζῶ. τοῦτ’ ἔχοιμ’ ἂν αὐτό σοι φράσαι, Δρόμων·
τὰ δ’ ἄλλ’, ὅταν γέροντα καὶ πένητ’ ἴδηις
καὶ μόνον, ἀνάγκη πάντ’ ἔχειν οὕτω κακῶς.
(Στρ) σκεψάμενος ἥξω ταῦτα, μῆτερ.
(Δρ) Στρατοφάνη,
πατὴρ Φιλουμένης.
(Στρ) ὁ ποῖος;
(Δρ) οὑτοσί.
(Στρ) χαῖρε, πάτερ.
(Δρ) οὗτός σοι σέσωικε τὴν κόρην.
(Κι) ἀλλ’ εὐτυχὴς γένοιτο.
(Στρ) ἐάνπερ σοι δοκῆι,
ἔσομαι, πάτερ, καὶ μακάριός γε.
(Δρ) Στρατοφάνη,
πρὸ]ς τὴν .[].ωμεν ταχύ,
πρὸς τῶν] θεῶν.
(Στρ) ἡγοῦ λ[αβὼν σύ.] κατὰ πόδας
ἐγὼ δι]ώκω, μικρὰ τοῖ[ς γ’ ἔνδο]ν φράσας.
(Δρ) προάγ]ωμεν ἡμεῖ[ς ..] Κιχησία.
(Στρ) Δόναξ, παῖ, παῖ,] Δόναξ, φράσον εἰσιὼν πρὸς Μαλθάκην
εἰς γειτόνων ἅπαντα δεῦρ[ο μεταγαγεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς κανδύτανας, τοὺς ἀόρτ[ας, τὰ πλόκανα
385.4 ἅπαντα, τοὺς ῥίσκους ἅπαντ[ας
390.1 καὶ μη...ευρησκοντας ἐνθά[δ
390.2 αὐτήν τ’ ἀπιέναι δεῦρο πρὸς [τὴν μητέρα
390.3 κέλευε τὴν ἐμήν, μεθ’ ὑμῶ[ν
390.4 τοὺς βαρβάρους παῖδας καταλ[
390.5 ἐνταῦθα καὶ Θήρωνα τούς τ’ ὀ[νηλάτας
395.1 καὶ τοὺς ὄνους. ταῦτα λέγ’. ἐγὼ [
395.2 ἐντεύξομ’ αὐτὸς τἆλλα τῶι τ.[
395.3 (Μο) νῦν οὐδὲ προσβλέψαι σε, Μοσχίω[ν, ἔτι
395.4 πρὸς τὴν κόρην δεῖ· Μοσχίων [
395.5 λευκὴ σφόδρ’, εὐόφθαλμός ἐστ’—οὐδὲ[ν λέγεις· ἁδελφὸς ὁ γαμῶν· μακάριος κ.[
395.6 οἷον γὰρ—οὗτος, ἔτι λέγεις; οναντ[
395.7 πρᾶγμ’ ἐστ’ ἐπαινεῖν χάριν ἐν.[
395.8 ἀλλ’ οὐκ ἐρῶ γε· μὴ γὰρ οτανοσον[
395.9 παροχήσομαι δηλονότι καὶ κ[
405.1 τρίτος [μετ’] αὐτῶν, ἄνδρες, οὐ δυ[νήσομαι
405.2 (uersus iii paene deperditi)
409 αὐτῆς θ’ ἑταίρας ἡ κακ[
410 ἀλλ’ ἔργον ἀρέσαι. νῦ[ν] ἐδ[
410 (non constat quot uersus desint ante columnam ex qua
410.1 manent litterae perpaucae) φέρουσα κριθῶν τοῖς ὄνοι[ς
410.2 ἐν ταῖς πορείαις ὡς παν[
412.1 ˋ—ˊ
412.2 ἀεὶ τοιαύτην εὐχόμην ε[
413.1 ˋ—ˊ
413.2 εὔχου τοιαύτην; τί δ’ ἀδικε[
415 οὐκ ἐμμεμένηκεν ὁ βαθυ[
415.1 ˋ—ˊ
415.2 ἄνθρωπον ἐλπίσαντα δε.[
416.1 ˋ—ˊ
416.2 καὶ τὴν δέησίν ἐστί σου δι[
417.1 ˋ—ˊ
417.2 πῶς δ’ ἂν διακόψαις; δᾶιδα[
418.1 ˋ—ˊ
418.2 πρὶν ὁμολογῆσαι; καὶ στεφαν[
419 ˋ—ˊ
420.1 δώσω. κατάνευσον. μειράκ[ι
420.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρωιράσατ’ ἐκτείναντες, ἐπ[ικροτήσατε.

420.3 ἥ δ’ εὐπάτειρα φιλόγελώς τε παρθένος Νίκη μεθ’ ἥμῶν εὐμενὴς ἕποιτ’ ἀεί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org